φανῆναι, ἡμεῖς δὲ τούτους πολλὰ παραινέσαντες κατὰ τὸ ὀφειλόμενον, οὐδόλως ἠνέσχοντο στέργειν τὰ μέσον αὐτῶν στιχηθέντα, | καὶ κατ' αὐτὸ τοῦτο τὸ παρὸν τῆς διαζεύξεως ἔγγραφον φ.170. τὸ καὶ σημειώματος τάξιν ἐπέχον ἡμεῖς ἐγχαράξαντες καὶ τῇ συνήθει ὑπογραφῇ ἐπιβεβαιώσαντες, τῷ παρόντι Γεωργίῳ ἐπιδεδώκαμεν ὡς ἂν κατέχῃ τοῦτο εἰς οἰκείαν ἀσφάλειαν καὶ ἀθώωσιν, καὶ ἐλευθέρως διάγῃ ἔνθα καὶ βούλοιτο, ἂν ἴσως καὶ βουληθῇ γυναικὶ ἐν ταύτῃ τῇ χώρᾳ προσαρμοσθῆναι ἵνα ἔχῃ τοῦτο ἐπ' ἀδείας πράττειν καὶ μὴ παρά τινος ἐμποδίζεσθαι· ὡσαύτως καὶ ἡ διαφόρως ῥηθεῖσα γυνὴ ἐλευθέρως καὶ ἀδεῶς ἔχειν πράττειν τὰ περὶ αὐτὴν ὡς βούλεται, μὴ παρεμποδιζομένη (1) μήτε παρ' αὐτοῦ, μήτε παρ' ἄλλου τινός, χάριν τῆς μέσον τῶν ἀμφοτέρων γεγονυίας συμφωνίας τοῦ γαμικοῦ συναλλάγματος. Εἰ δέ τις ἀναφανῇ ἐκ τούτων τῶν δύο μερῶν ὑπὲρ τοῦ ἑτέρου μέρους λέγειν τι, ἢ παρεμποδίζειν τὸν ἕτερον, ἵνα ζημιῆται χάριν προστίμου πρὸς τὸ στέργον μέρος καὶ ἐμμένον χρυσᾶ ὑπέρπυρα τόσα, καὶ πρὸς τὸ δημόσιον τὸ τούτων τρίτον, μὴ καταφεύγων εἴς τινα νομικὴν βοήθειαν· διὰ γὰρ τοῦτο καὶ τὸ παρὸν σημείωμα τῆς διαζεύξεως πρὸς αὐτοὺς ἐγεγόνει εἰς ἀσφάλειαν, μηνὶ τῷδε, ἰνδικτιῶνος τῆσδε.

## 29. Ἕτερος πρόλογος [μαρτυρικοῦ ?]

Ἀκαταγώνιστόν τι χρῆμα καὶ ἄμαχον ἡ ἀλήθεια, οὔτε γὰρ δυνάμει καὶ βίᾳ ἰσχύος πολλῶν ἀφανίζεται, οὔτε τὸ πολύπλοκον καὶ πολυμήχανον ψεῦδος ταύτην νικῆσαι δύναται, ἀλλὰ γυμνὴ πρόκειται πᾶσι τοῖς βουλομένοις αὐτοῖς (2) τὴν ὥραν ἐπισκοπεῖν, ἧς καὶ ἡμεῖς τὸ ἐράσμιον ἀσπαζόμενοι, μαρτυροῦμεν ἅπερ αὐτοψὶ ἐθεασάμεθα· καὶ γὰρ τόδε καὶ τόδε.

---

(1) χειρ. παρεμποδιζαμένη. (2) γραπτέον, αὐτῆς.